αὐτῶν ἢ νῦν. τοῦτο οὖν ἡμῖν ἔτι, σὺν θεῷ εἰπεῖν, ἔξεστιν, εἴ τι ἄρα μὴ
καλῶς πέπρακται κατὰ τὴν ἔμπροσθεν συνουσίαν, ἐπανορθώσασθαι καὶ
E ἔργῳ καὶ λόγῳ· περὶ γὰρ φιλοσοφίαν φημὶ ἐγὼ τὴν ἀληθινὴν δόξαν ἔσε-
σθαι καὶ λόγον ἡμῶν μὲν ὄντων ἐπιεικῶν βελτίω, φαύλων δὲ τοὐναντίον.
καίτοι περὶ τούτου ἡμεῖς ἐπιμελούμενοι οὐδὲν ἂν εὐσεβέστερον πράττοι-
μεν, οὐδ᾽ ἀμελοῦντες ἀσεβέστερον.

Ὡς δὴ δεῖ γίνεσθαι, καὶ τὸ δίκαιον ᾗ ἔχει, ἐγὼ φράσω. ἦλθον ἐγὼ εἰς
Σικελίαν δόξαν ἔχων πολὺ τῶν ἐν φιλοσοφίᾳ διαφέρειν, βουλόμενος δὲ
312 ἐλθὼν εἰς Συρακούσας συμμάρτυρα λαβεῖν σέ, ἵνα μοι τιμῷτο φιλοσοφία
καὶ παρὰ τῷ πλήθει. τοῦτο δ᾽ οὐκ εὐαγές μοι ἀπέβη. τὸ δ᾽ αἴτιον οὐ λέγω
ὅπερ ἂν πολλοὶ εἴποιεν, ἀλλ᾽ ὅτι ἐφαίνου οὐ πάνυ ἐμοὶ πιστεύειν σύ,
ἀλλ᾽ ἐμὲ μέν πως ἀποπέμψασθαι ἐθέλειν, ἑτέρους δὲ μεταπέμψασθαι, καὶ
ζητεῖν τὸ πρᾶγμα τί τὸ ἐμόν ἐστιν, ἀπιστῶν, ὡς ἐμοὶ δοκεῖ· καὶ οἱ ἐπὶ
τούτοις βοῶντες πολλοὶ ἦσαν, λέγοντες ὡς σὺ ἐμοῦ μὲν καταπεφρόνηκας,
B ἄλλα δ᾽ ἐσπούδακας. ταῦτα δὴ διαβεβόηται. ὃ δὲ μετὰ ταῦτα δίκαιόν
ἐστι ποιεῖν, ἄκουε, ἵνα σοι καὶ ἀποκρίνωμαι ὃ σὺ ἐρωτᾷς, πῶς χρὴ ἔχειν
ἐμὲ καὶ σὲ πρὸς ἀλλήλους. εἰ μὲν ὅλως φιλοσοφίας καταπεφρόνηκας, ἐᾶν
χαίρειν, εἰ δὲ παρ᾽ ἑτέρου ἀκήκοας ἢ αὐτὸς βελτίονα εὕρηκας τῶν παρ᾽ ἐμοί,
ἐκεῖνα τίμα· εἰ δ᾽ ἄρα τὰ παρ᾽ ἡμῶν σοι ἀρέσκει, τιμητέον καὶ ἐμὲ μά-
C λιστα. νῦν οὖν, ὥσπερ καὶ ἐξ ἀρχῆς, σὺ καθηγοῦ, ἕψομαι δὲ ἐγώ· τιμώμε-
νος μὲν γὰρ ὑπὸ σοῦ τιμήσω σέ, μὴ τιμώμενος δὲ ἡσυχίαν ἕξω. ἔτι δὲ σὺ
μὲν ἐμὲ τιμῶν καὶ τούτου καθηγούμενος φιλοσοφίαν δόξεις τιμᾶν, καὶ
αὐτὸ τοῦτο, ὅτι διεσκόπεις καὶ ἄλλους, πρὸς πολλῶν εὐδοξίαν σοι οἴσει ὡς
φιλοσόφῳ ὄντι. ἐγὼ δὲ σὲ τιμῶν μὴ τιμῶντα πλοῦτον δόξω θαυμάζειν τε
καὶ διώκειν, τοῦτο δ᾽ ἴσμεν ὅτι παρὰ πᾶσιν ὄνομα οὐ καλὸν ἔχει· ὡς δ᾽ ἐν
κεφαλαίῳ εἰπεῖν, σοῦ μὲν τιμῶντος ἀμφοτέροις κόσμος, ἐμοῦ δὲ ὄνειδος
D ἀμφοῖν. περὶ μὲν οὖν τούτων ταῦτα.

Τὸ δὲ σφαιρίον οὐκ ὀρθῶς ἔχει· δηλώσει δέ σοι Ἀρχέδημος, ἐπειδὰν
ἔλθῃ. καὶ δὴ καὶ περὶ τοῦδε, ὃ τούτου τιμιώτερόν τ᾽ ἐστὶν καὶ θειότερον,
καὶ μάλα σφόδρ᾽ αὐτῷ δηλωτέον, ὑπὲρ οὗ σὺ πέπομφας ἀπορούμενος.
φῂς γὰρ δὴ κατὰ τὸν ἐκείνου λόγον, οὐχ ἱκανῶς ἀποδεδεῖχθαί σοι περὶ τῆς